UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Ephesini Concilii Generalis Pars I. Et II. Sub Cælestino papa I. anno CCCCXXXI.

**Parisiis, 1644**

Ex euangelio secundum Matthaeum.

**urn:nbn:de:hbz:466:1-15062**

Visual Library

## Ὅτι εἷς υἱὸς καὶ κύριος.

Ἐκ τοῦ κατὰ Ματθαῖον.

ΠΑΝΤΑ μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου· καὶ οὐδεὶς γινώσκει τὸν υἱόν, εἰ μὴ ὁ πατήρ· οὐδὲ τὸν πατέρα τις γινώσκει, εἰ μὴ ὁ υἱός, καὶ ᾧ ἂν βούληται ὁ υἱὸς ἀποκαλύψαι.] οὐδενὸς γινώσκοντος τὸν υἱόν, εἰ μὴ μόνου τοῦ πατρός, πῶς ἀθετοῦσί τινες τὴν τοῦ πατρὸς μαρτυρίαν; ὑπέδειξε γὰρ τὸν ἴδιον υἱὸν ἐν τῷ Ἰορδάνῃ, λέγων· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα. ἀλλ' οὐ γυμνὸν ἡμῖν ὑπέδειξε τὸν ἴδιον λόγον, ἀλλ' ἑνωθέντα σαρκί. καὶ οὐκ εἴρηκεν, ὅτι ἐν τούτῳ ἐστὶν ὁ υἱός μου· ἀλλ' οὗτός ἐστιν ὁ μετὰ σαρκός. εἷς ἄρα καὶ κύριος καὶ υἱός.

## Quod unus Filius & Dominus.

*Ex euangelio secundum Matthæum.*

OMNIA *mihi tradita sunt a Patre meo: & nemo nouit Filium, nisi Pater: neque Patrem quis nouit, nisi Filius, & cui voluerit Filius reuelare.* Matth. c. 11. v. 27. Si nemo Filium nouit, nisi solus Pater; quomodo sunt qui Patris testimonium veluti infirmum repudiant? Ostendit is autem Filium suum in Iordane hac oratione: *Hic,* inquit, *est Filius meus dilectus, in quo mihi bene complacui.* Matth. c. 3. v. 17. & Luc. c. 9. v. 35. Atqui non nudum Verbum ob oculos nobis posuit, sed incarnatum. Neque dixit: In hoc est Filius meus dilectus; sed: Hic, quem coram cernitis in carne, est Filius meus. Vnus itaque est Dominus & Filius.

Ἐκ τοῦ κατὰ Ἰωάννην εὐαγγελίου.

ΗΝ τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον.] θεολογήσας ἀρκούντως, καὶ διὰ τοῦ φωτὸς τοῦ ἀληθινοῦ πεφωτίσθαι πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον εἰπών, καὶ μὴν καὶ δι' αὐτοῦ αὐτὸν πεποιῆσθαι τὸν κόσμον, εἰς τὰ ἴδιά φησιν αὐτὸν ἐλθεῖν. ἦλθε δὲ γεγονὼς ἄνθρωπος ὁ μονογενὴς ὡς πρὸς ἰδίους, καὶ πρό γε τῶν ἄλλων τοὺς ἐξ αἵματος Ἰσραήλ. ὅτε τοίνυν αὐτός ἐστι τὸ φῶς τὸ ἀληθινόν, ὃ δι' οὗ τὰ πάντα·

*Ex euangelio secundum Ioannem.*

ERAT *lux vera, quæ illuminat omnem hominem venientem in hunc mundum. In mundo erat, & mundus per ipsum factus est, & mundus eum non cognouit. In propria venit, & sui eum non receperunt.* Ioan. c. 1. v. 9. Ecce accurate de diuinis differens, & per lucem veram illuminari omnem hominem venientem in hunc mundum affirmans, ipsumque esse, per quem mundus est conditus; hunc eumdem in propria venisse prædicat. Venit autem Vnigenitus factus homo tamquam ad suos, & præcipue ad Israelitici sanguinis homines. Cum ergo ipse sit lux illa vera, per quem omnia sunt con-